## ΟΕ'.

Η' τοιαύτη παράςασις, καθ' ἣν ὀ μόνον ἀπὸ τῶν ἄλλων τὸ παριςανόμενον διακρίνομεν, ἀλλ' ἔτι καὶ τὰ χαρακτηριςικὰ γνωρίσματα, καθ' ἃ τὸ παριςανόμενον τῶν ἄλλων διέζευκται, εἰδικῶς ἡμῖν παριςῶμεν, καὶ τῷ νῷ διακρίνομεν, Ε'ννοια ἢ Ι'δέα λέγεται διακεκριμμένη, ὀδ' ὅτιὀν ἄλλο ὄσαν, εἰμὴ τῶν πράγματος τινὸς χαρακτηριςικῶν γνωρισμάτων παράςασις.

„ Οὕτω γὰρ ὁ Κωνςαντῖνος διακεκριμένην διαμορφοῦται τῇ νόμῳ ἑαυτῷ Ε'ννοιαν, εἰδώς,
„ ὅτι ὁ νόμος ἐςὶ κανὼν, καθ' ὃν τὰς αὐτῇ ἐνεργείας ὀφείλει διαμορφοῦν ὁ ὑπὸ τὸν
„ νόμον. Ε'νταῦθα γὰρ ὁ Κωνςαντῖνος τὰς χαρακτῆρας, καθ' ὃς ὁ νόμος ἀπὸ τῶν
„ ἄλλων διακρίνεται παριςᾷ ἑαυτῷ τῷ νῷ, καὶ εἰδικῶς πάντας ἐπαριθμεῖ.

## Οϛ'.

Η' τοιαύτη παράςασις, καθ' ἣν ἀπὸ τῶν ἄλλων πρᾶγμά τι διακρίνοντες ὀδὲν τῶν γνωρισμάτων, εἴτεν χαρακτήρων ἐκείνων κατὰ μέρος ἑαυτοῖς παριςᾶνα δυνάμεθα, Ε'ννοια, ἢ Ι'δέα συγκεχυμένη ἀκόει.

„ Οὕτω δὴ τὸ ἐρυθρὸν χρῶμα διακρίνεις μὲν ἀπὸ τῶν ἄλλων ἐςὶ ἤδη παντός. Ε'πεὶ δὲ,
„ μαρτυρήσης τῆς πείρας, ὀδένα κατὰ μέρος ἔχεις τῷ νῷ παριςᾶν τῶν χαρακτήρων,
„ δι' ὧν τὸ ἐρυθρὸν τῶν ἄλλων διαγινώσκεται· ταύτῃ τοι τῷ ἐρυθρῷ συγκεχυμένη σοι
„ ἐςὶν ἡ Ι'δέα.

## ΟΖ'.

### Η' σαφὴς Ι'δέα, εἴτεν Ε'ννοια εἰς διακεκριμένην καὶ συγκεχυμένην ὀρθῶς ἔχει διαιρεμένη.

Δεῖξ. Τὸ συμπαριςανόμενον πρᾶγμα διακρίνοντες ἀπὸ τῶν ἄλλων ἔχομεν Ι'δέαν σαφῆ (ΞΔ'.)· Ε'πεὶ δὲ πρᾶγμά τι διακρίνοντες ἀπὸ τῶν ἄλλων, ἤτοι καὶ τὰς χαρακτῆρας, καθ' ὃς τὸ παριςανόμενον πρᾶγμα διὰ τῶν ἄλλων διαγνωρίζεται, εἰδικῶς ἐξαγγέλειν δυνάμεθα, ἢ ὄ· (ΟΔ'.) δῆλον ὄν, ὅτι Ι'δέαν ἔχοντες σαφῆ, ἤτοι τὰ χαρακτηριςικὰ τῷ παριςανομένῳ πράγματος γνωρίσματα εἰδικῶς ἑαυτοῖς δυνάμεθα παριςᾶν, ἢ ὄ. Τῶν δὲ παραςάσεων, καθ' ἣν τὰ μὲν γνωρίσματα, καὶ τὰς χαρακτῆρας, δι' ὧν τὸ παριςανόμενον

πρᾶγ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΗΡΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

πρᾶγμα διακρίνεται ἀπὸ τῶν ἄλλων ἰδικῶς ἑαυτοῖς παριςῶμεν, Ἰδέα ἢ Ἔννοια λέγεται διακεκριμένη (ΟΕ'.)· καθ' ἣν δὲ τὰ χαρακτηριςικὰ γνωρίσματα παριςῶν ἑαυτοῖς καθ' ἕκαςα ἐ δυνάμεθα Ἰδέα εἴτην Ἔννοια συγκεχυμένη καλεῖται (Οϛ'.), ἄρα τὴν σαφῆ Ἰδέαν εἰς Διακεκριμένην καὶ Συγκεχυμένην ὀρθῶς διαιρεῖσθαι κατάδηλον.

» Εἰσὶν οἱ τὰς σαφεῖς ϗ διακεκριμένας Ἰδέας ἀντὶ συνωνύμων λαμβάνουσι τῇ κατὰ γραμ-
» ματικὴν τῶν φωνῶν τῶνδε σημασίᾳ ἀναμφιῤῥέπως ἐξαπατηθέντες. Ἐκ δὲ τῶν
» εἰρημένων καταφανὲς, ἐκ ἄνευ λόγε τῷ ἀποχρῶντος τόν τε Καρτέσιον ϗ τὸν Λεϊβ-
» νίτζιον εἰς Διακεκριμένην ϗ Συγκεχυμένην τὴν σαφῆ ἰδέαν διελεῖν· τὰ γὰρ διάφορα
» καθ' αὑτὰ ὄντα διαφόροις χρὴ ϗ τοῖς ὅροις ἐκφαίνεσθαι.

## ΟΗ'.

**Ἐὰν διακεκριμμένην Ἰδέαν ἔχῃς ἀντικειμένε τινὸς, τῶν τὸ ὁλικὸν ἐκεῖνο ἀντικείμενον συνιςώντων, καὶ ἀπὸ τῶν ἄλλων διακρινόντων χαρακτηριςικῶν γνωρισμάτων Ἰδέαν ἕξεις σαφῆ· Ἐὰν δέ τινος ἀντικειμένε συγκεχυμένην Ἰδέαν ἔχῃς, τῶν τὸ παριςανόμενον ἀντικείμενον συνιςώντων, καὶ παντὸς ἄλλε διαζευγνύντων χαρακτηριςικῶν γνωρισμάτων Ἰδέαν ἀσαφῆ ἕξεις.**

Δεικν. Ὅτε τινος πράγματος Ἰδέαν εἴτην ἔννοιαν διακεκριμένην ἔχεις, τότε δὴ τὸ παριςανόμενον συνιςῶντα, καὶ ἀπὸ τῶν ἄλλων διακρίνοντα χαρακτηριςικὰ γνωρίσματα δύνασθαι καθ' ἕκαςον σεαυτῷ παριςᾷν τε καὶ διακρίνειν (ΟΕ'.), Ἐὰν δὲ τι διακρίνειν ἀπ' ἀλλήλων οἷός τε ᾖς σαφῆ πάντως γ' ἐκείνε ἕξεις Ἰδέαν (ΞΔ'.)· διακεκριμένως ἄρα ἀντικείμενόν τι σεαυτῷ παριςῶν, τῶν γνωρισμάτων εἴτεν χαρακτήρων τῶν. τὸ παριςανόμενον ἀντικείμενον συνιςώντων, Ἰδέας ἕξεις ἀναγκαίως σαφεῖς.

Ἔτι, ὁ συγκεχυμένην ἔχων ἀντικειμένε τινὸς Ἰδέαν, τὰ τὸ παριςανόμενον ἀντικείμενον συνιςῶντα καὶ ἀπὸ τῶν ἄλλων διιςῶντα γνωρίσματα ἐκ ἔχει ἑαυτῷ παριςᾷν, καὶ καθ' ἕκαςον διακρίνειν (Οϛ'.)· ἡ δὲ τοιαύτη παράςασις καθ' ἣν τῷ νῷ παριςᾷ τις τὸ ἀντικείμενον, ἐχ ὥςε τῶν ἄλλων διαγινώσκειν οἵα τε εἶναι, ἀσαφὴς Ἰδέα καλεῖται (ΞΘ'.)· Ὁ ἔχων ἄρα πράγματός τινος συγκεχυμένην Ἰδέαν τῶν συνιςώντων αὐτὸ γνωρισμάτων Ἰδέαν ἕξει πάντως ἀσαφῆ. Ἐν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

„ Ἐντεῦθεν κατανοεῖν ἔχεις αὐθ᾽ ὅτι παρὰ τοῖς φιλοσόφοις ἡ τῆς ὁλικῆς προσλήψεως
„ διάκρισις ἐκ τῆς σαφηνείας τῶν μερικῶν προσλήψεων, οἷα δὴ καὶ ἡ συγκεχυμένη τοῦ
„ ὁλικοῦ ἀντικειμένου Ἰδέα, ἐκ τῆς ἀσαφείας τῶν μερικῶν Ἰδεῶν ἀναφύεσθαι λέγεται. Ἐκ
„ τῶν αὐτῶν ἔτι κατάδηλον, τὸν τῆς διακρίσεως αὐξάνειν βαθμὸν τῆς σαφηνείας αὐ-
„ ξούσης ἐν ταῖς τῶν μερῶν τοῦ ὅλου προσλήψεσι.

## ΟΘ΄.

**Πρόδηλον ἐντεῦθεν, ὅτι ἡ προσοχή τε καὶ ἐνατένισις εἰς ἐπίκτησιν τῶν διακεκριμένων Ἰδεῶν συμβάλλει τὰ μάλιστα.**

Δεικν. Ἐπεὶ γὰρ τῷ Ἰδέαν διακεκριμένην πράγματος τινὸς ἔχειν ἐθέλοντι, τὰ τούτου γνωρίσματα σαφῶς αὐτῷ ἐπάναγκες παριστάνεσθαι (ΟΗ΄.), εἰς ἐπίκτησιν δὲ τῆς σαφοῦς Ἰδέας ἀναγκαία ἡ προσοχή τε καὶ ἐνατένισις (ΟΒ΄.)· δῆλον ἄρ᾽ ὅτι ἡ αὐτὴ προσοχὴ ὡσαύτως ἀπαιτεῖται εἰς τὴν τῶν διακεκριμένων Ἰδεῶν ἐσομένην ἐπίκτησιν.

## Π.

**Ὁ διακεκριμένην Ἰδέαν ἀντικειμένου τινὸς ἐσχηκὼς, καὶ ἑτέρῳ τὴν αὐτὴν διὰ φωνῶν κοινώσασθαι δύναται.**

Δεικν. Ὁ διακεκριμένην ἀντικειμένου τινὸς ἐσχηκὼς Ἰδέαν τοὺς χαρακτῆρας ἐκείνου καὶ γνωρίσματα παριστᾷν ἑαυτῷ καθ᾽ ἕκαστον δύναται (ΟΕ΄.)· ἐπεὶ δὲ ὀνόμασιν ἰδίοις οἱ χαρακτῆρες οὗτοι ἐκφαίνονται, κατανοεῖς ἤδη τοὺς αὐτοὺς ἐπαριθμεῖσθαι ἑτέροις, καὶ δι᾽ ὅρων ἔχειν ἐνδείκνυσθαι.

„ Τῆς δὲ διακεκριμένης ἐννοίας ἐξαίρετον τοῦτο κριτήριον εἶναι δοκεῖ μοι, εἴτις τὰ διακε-
„ κριμένως νοούμενα, ἀδικῶς ἀπαριθμεῖν ἐστι δυνατός. Συμβαίνει δ᾽ ἔμπης πολλῶν ἕνε-
„ κα διακεκριμένας καίπερ ἐσχηκότας τινὰς ἐννοίας, ἤτοι οὐδ᾽ ὅλως, ἢ δυσχερῶς γοῦν
„ διὰ φωνῆς ζώσης ἐκτίθεσθαι τὰ νοούμενα, τούτου δὴ τὸν λόγον ἔφθην ἀποδοὺς ἐν τῷ
„ προγράμματι περὶ τῶν πεπαιδευμ. οἵτινες τὰ ἐννοηθέντα οὐκ οἴδασιν διατρανῶσαι. Οὐϊ-
„ τεμβέργα 1734. Θῶμεν παρ. χάρ. τὸν Δημήτριον τῆς ἐλπίδος ἔχειν διακεκριμένην
„ ἰδέαν. Ἐρωτηθεὶς οὖν ὅπως ἂν ἡ ἐλπὶς τῶν ἄλλων παθῶν διϊστῶτο; ἀπαριθμεῖν δυνή-
„ σεται πάντως τὰ γνωρίσματα τὰ τῶν ἄλλων πάντων τὴν ἐλπίδα διαζευγνύντα.

ΠΑ΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ Θ. ΠΕΤΣΙΟΣ
Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΠΑ'.

**Ὅ, τιδήποτε̃ν ἑαυτοῖς διὰ τῶν αἰσθήσεων παριςῶμεν, συγκεχυμένως ἅπαν ἡμῖν αὐτοῖς παριςῶμεν, ὥσθ' ὅτω τοὺς φιλοσοφοῦντας ὀρθῶς τὰς αἰσθητικὰς παραςάσεις, ἢ τοιαύτας συγκεχυμένως ἀποφαίνεσθαι εἶναι.**

Δείκν. Αἱ αἰσθήσεις ἡμῖν τὰ ὑπάρχοντα παριςῶσι (κατὰ τὴν πεῖραν) τὰ δὲ ὑπάρχοντα παντοδαπαῖς καὶ ποικίλαις χρόνῳ, τόπῳ καὶ προσώπῳ, διακριτικοῖς χαρακτῆρσι ἢ παριςώσαις περιςάσεσιν ἐνειλημμένα ἐςι, κἀντεῦθεν συνορᾷν ἔχεις οὗτινος χάριν, ὅτι πλεῖςα καὶ σύνθετα αἱ αἰσθήσεις ἅμα παριςῶσαι τὰ διακριτικὰ γνωρίσματα οὐ καθ' ἕκαςον ἡμῖν ἐφιςᾶσιν. Ἡ δὲ τοιαύτη παράςασις καθ' ἣν τὰ χαρακτηριςικὰ γνωρίσματα τοῦ παριςανομένου οὐκ ἔξεςιν ἡμῖν καθ' ἕκαςον παραςῆσαι, συγκεχυμένη ἀκούει (Ος'.)· ὅ, τιδήποτ' ἄρα ἑαυτοῖς διὰ τῶν αἰσθήσεων παριςῶμεν, συγκεχυμένως παριςῶμεν.

„ *Αἰσθάνῃ* παρ. χάρ. διὰ τῶν ῥινῶν τὴν τοῦ ῥόδου ὀσμὴν, διὰ δὲ τῶν ὀφθαλμῶν τὸ μέλαν χρῶμα, καὶ διὰ τῶν ὤτων τὸν ἦχον τοῦ *Κώδωνος*· συγκεχυμένως ἀλλ' οὖν καὶ τὰ τρία ταυτὶ σεαυτῷ παριςάνεται. Οὐδὲ γὰρ ἔξεςί σοι καθ' ἕκαςα παριςᾶν, καὶ τοὺς χαρακτῆρας δι' ὧν ἡ τοῦ ῥόδου ὀσμὴ τῆς τοῦ ὑακίνθου, καὶ τὸ μέλαν τοῦ λευκοῦ διακρίνεται χρώματος.

## ΠΒ'.

**Κριτήριον συγκεχυμένης ἐννοίας ἐςὶ, τὸ διὰ φωνῶν αὐτὴν οὐκ ἐξεῖναι τοῖς ἄλλοις κοινώσασθαι.**

Δείκν. Ἐπεὶ γὰρ ὁ συγκεχυμένην πράγματος τινὸς ἐσχηκὼς Ἰδέαν, τὰ γνωρίσματα καὶ τοὺς χαρακτῆρας ἐκείνου ἀσαφῶς ἑαυτῷ παρίςησιν· (ΟΗ'.) ἐν δὲ τῇ ἀσαφεῖ παραςάσει οὐδὲν σαφῶς διακρίνειν ἔχομεν (ΞΘ'.)· δῆλον οὖν, ὅτι ὁ συγκεχυμένην πράγματός τινος ἐσχηκὼς Ἰδέαν, τὰ χαρακτηριςικὰ τοῦ παριςανομένου γνωρίσματα, καθ' ἕκαςον ἀπαριθμῆσαι ἑτέρῳ οὐ δύναται. Εἰ γὰρ ἂν ταῦτα ἠρίθμει, καὶ διέκρινε πάντως· ὥςε κριτήριον συγκεχυμένης ἐννοίας

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Π. τμ. Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

νοίας ὀρθῶς καθίςασθαι τὸ μὴ δύνασθαι δι᾽ ὅρων ἀναπτύσσειν ἑτέρῳ τὴν Ἔννοιαν.

„ Θῶμεν παρ. χάρ. ζητηθέντα σε παρά τινος τὴν τῶν χαρακτηριςικῶν ἔκφρασιν γνωρισ„ μάτων, δι᾽ ὧν, ἡ τῦ ῥόδυ ὀσμὴ τῆς τῶν ἄλλων ἀνθῶν διενήνοχε, μὴ δύνασθαι ταυτὶ „ ἐξαγγεῖλαι, ἀκριβῶς ἐν σαυτὸν πεπεισμένον ἔξως τῆς τῦ ῥόδυ ὀσμῆς συγκεχυμένην „ ἔχειν Ἰδέαν. Τῦτ᾽ αὐτὸ συμβαίνει ϗ τοῖς δυναμένοις μὲν τῦ λευκῦ διακρίνειν τὸ μέ„ λαν, τῷ δ᾽ ἔμπης ἐκ γενετῆς τυφλῷ, λόγοις ἀναπτύξαι ἐκ ἔχουσιν, ὅπως τὸ λευκὸν „ χρῶμα τῦ μέλανος ὀφείλει διαγινώσκεσθαι.

## ΠΓ΄.

Εἴπερ ἂν ἑτέρῳ τινὶ συγκεχυμένην τινὸς Ἰδέαν μέλλῃς ἀνακοινώσασθαι τὸ, ὅπερ ἡ συγκεχυμένη Ἰδέα ἐςιν, ἀντικείμενον, ταῖς τῦ ἑτέρυ αἰσθήσεσιν ἀνάγκη καθυποβάλλειν, εἴτυν ἐνδείκνυσθαι.

„ Εἴτις παρ. χάρ. τὴν ὀσμὴν τῦ ῥόδυ ὐδέποτε τῇ ὀσφρήσει προσέλαβε, βυλομένυ ἄλλυ „ τινὸς τὴν ὀσμὴν αὐτῷ ἀνεγεῖραι τῦ ῥόδυ, τὸ ῥόδον ἀνάγκη τῇ τῦ ἑτέρυ προσενεχθῆναι „ ῥινί. Οὕτως ἤδη ἐκείνῳ ἡ συγκεχυμένη ἀνεργερθήσεται τῆς ὀσμῆς τῦ ῥόδυ ἰδέα. „ λόγοις γὰρ ὐκ ἄν ποτε δύναιτο διακεκριμμένως νοῆσαι, ὅπως ἡ τῦ ῥόδυ ὀσμὴ τῶν ἄλ„ λων διακεχώριςαι.

## ΠΔ΄.

Ἐκ τύτων τέλος κατανοεῖν ἔχει τις, τίποτ᾽ ἐςὶν τὸ τῦ νοὸς φῶς, καὶ τί βύλεται σημαίνειν ἡ φράσις αὕτη, φῶς ἐγείρεται τῷ ἡμετέρῳ νοΐ.

## ΠΕ΄.

Διὰ τῦ ἐν τῷ κόσμῳ φωτὸς, τοιῦτον ὂν ἐννοῦμεν, δι᾽ ἃ τὰ ἐκτὸς περικείμενα ἀντικείμενα διακρίνειν ἀλλήλων δυνάμεθα.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Λάτης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πς΄.

### Τὸ φῶς ἐν τῷ ἀνθρωπίνῳ νοὸς ἐν τῇ ςάσει τῶν σαφῶν ϗ διακεκριμένων συνέςηκεν ἰδεῶν.

Δείκν. Ὁ γὰρ νῦς ἐν τῇ ςάσει τῶν σαφῶν καὶ διακεκριμένων ἰδεῶν ὑπάρχων τὰ παριςανόμενα διακρίνειν δύναται (ΞΔ), καὶ ἑπομένως ἡ τῶν σαφῶν καὶ διακεκριμένων ἰδεῶν ςάσις τὸ τῦ ἀνθρωπίνυ νοὸς καλύμενον ἀποτελεῖ φῶς (ΠΕ΄.).

„ Ἐγνώρισθαι τοιγαρῦν Α΄. ἐν τῷ ἡμετέρῳ νῷ φῶς προφανὲς, ὅτε ἐξ ἀσαφῶν σαφῶς, ἢ
„ ἐκ σαφῶν διακεκριμμέναι αἱ ἰδέαι γίγνοιντο. Β΄. Ἐκ τῶν αὐτῶν καθορᾶται, ὅτι
„ τῆς σαφῦς ϗ διακεκριμμένης γνώσεως αὐξανέσης, τὸ τῦ νοὸς συναύξεται φῶς. Γ΄.
„ Ἐξ αὐτῶν τύτων ἔχομεν γνῶναι ἐν τίνι τὸ τῦ νοὸς συνίςαται σκότος. Ὅτε ὁ νῦς ἀμέλει
„ ἐν τοῖς προσλαμβανομένοις ἀντικειμένοις ὐδ᾽ ὁ,τιῦν διακρίνειν ἔχῃ, τότε δὴ τὸ σκότος
„ αὐτῷ ἀποδίδοται. Ἐπεὶ γὰρ ἐν ςάσει ὢσι τῶν ἀσαφῶν ἰδεῶν, ἕτερον θατέρυ διακρί-
„ νειν ἀδύνατον (ΞΘ.)· Εὔδηλον ἄρ᾽ ὅτι τῇ τῶν ἀσαφῶν ἰδεῶν ςάσει τὸ τῦ νοὸς σκό-
„ τος ἀποτελᾶται.

## ΠΖ΄.

Διὰ τῆς πείρας γινώσκομεν, ὅτι ἐν τῷ παριςᾷν ἑαυτοῖς τὰ χαρακτηριςικὰ γνωρίσματα πράγματός τινος, ἢ πάντα δὴ παριςῶμεν, ὅσαγ᾽ ἐξαρκεῖ εἰς τὴν τῦ παριςανομένυ ἀπὸ τῶν ἄλλων ἁπάντων, ἐν ὁποιαδηποτῦν περιςάσει, τόπῳ καὶ χρόνῳ διάκρισιν, ἢ γῦν τινὰ μόνον τῶν γνωρισμάτων, ἅπερ εἰς τὴν τῦ παριςανομένυ ἀπὸ τῶν, ἄλλων διάκρισιν ἐν ἁπάσῃ περιςάσει, τόπῳ τε καὶ χρόνῳ ὐκ ἐξαρκεῖ.

## ΠΗ΄.

Τῶν παραςάσεων ἡ μὲν, καθ᾽ ἥνπερ ἐξαρκῦντα γνωρίσματα εἰς τὴν τῦ παριςανομένυ ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιςάσει διάκρισιν, καθ᾽ ἕκαςα τῷ ἐμῷ ἐφίςημι νῷ, Ἰδέα Συμπλήρης ἀκύει. Ἡ δέ γε, καθ᾽ ἥν τινὰ μόνον, μηδ᾽ ἀποχρῶντα καὶ ταῦτα εἰς τὴν τῦ παριςανομένυ ἀπὸ τῶν ἄλλων ἐν ὁποιαδηποτῦν ςάσει διάκρισιν, Ἰδέα λέγεται ἐλλιπής.



„ Ἐὰν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ Ἐὰν παρ. χαρ. τὰ χαρακτηριστικὰ ταῦτα τοῦ πνεύματος γνωρίσματα ἀριθμήσας, ὅτι ἐστὶ
„ Α΄. Οὐσία, Β΄. Νοερά. Γ΄. Βουλητική, ἢ Θελητική, καταλέξῃ δὴ τὰ τὸ πνεῦμα δια-
„ ζωγνῦντα τῶν ἄλλων χαρακτηριστικὰ γνωρίσματα, καὶ ἑπομένως διακεκριμένην
„ σεαυτῷ διαμορφώσεις τοῦ πνεύματος Ἔννοιαν (ΟΕ΄.)· ἐπεὶ τὰ ἤδη ἀριθμηθέντα γνω-
„ ρίσματα εἰς τὴν τοῦ πνεύματος ἀπὸ τῶν ἄλλων διάκρισιν ἐν ὁποιαδηποτοῦν ἐξαρκοῦ πα-
„ ραστάσει· (οὐδὲν γὰρ ἄλλο παρὰ τὸ πνεῦμα νοερόν ἐστὶ καὶ θελητικὸν), συνίης, ὅτι διακε-
„ κριμένην συμπλήρη ἔχεις ἥκιστα τοῦ πνεύματος Ἔννοιαν. Ἀριθμῶν δὲ μόνον τῶν τοῦ
„ Θεοῦ γνωρισμάτων ἔστιν, παρ. χαρ. ὅτι ὁ Θεός ἐστιν οὐσία Διανοητική, ἕξεις ἤδη τοῦ
„ Θεοῦ ἐλλιπῆ ἰδέαν. Οὐ γὰρ τέως ἠριθμήσω εἰς τὴν τοῦ Θεοῦ ἀπὸ τῶν ἄλλων ἐν ὁποια-
„ δηποτοῦν στάσει διάκρισιν, ἐξαρκοῦντα οὐκ ἔστι γνωρίσματα. ἥτε γὰρ ἡμετέρα ψυχὴ,
„ ὥσπερ δὴ καὶ ὁ ἄγγελος, οὐσία ὑπάρχει Διανοητική.

## ΠΘ΄.

## Ὀρθῶς ἡ διακεκριμένη Ἰδέα εἰς Συμπλήρη διαιρεῖται, καὶ Ἐλλιπῆ.

Δείκν. Ἡ διακεκριμένη Ἰδέα παράστασίς ἐστι, καθ᾽ ἣν τὰ δι᾽ ὧν τὸ παριστανόμενον διαγινώσκεται ἀπὸ τῶν ἄλλων χαρακτηριστικὰ γνωρίσματα, καθ᾽ ἕκαστα τῷ ἑαυτῶν ἐφιστῶμεν νοΐ (ΟΕ΄)· Ἐπειδὴ δὲ ἐκ τῆς πείρας ἴσμεν, ἢ πάντα τὰ ἐξαρκοῦντα εἰς τὴν τοῦ παριστανομένου ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ὁποιαδηποτοῦν στάσει διάκρισιν, γνωρίσματα ἑαυτοῖς παριστᾷ, ἢ γοῦν ἔνια τούτων, ὅτα γε μηδ᾽ ἀπόχρη εἰς τὴν τοῦ παριστανομένου ἐν ὁποιαδηποτοῦν στάσει ἀπὸ τῶν ἄλλων διάκρισιν (ΙΖ΄.)· τῶν δὲ παραστάσεων, ἡ, καθ᾽ ἣν μὲν εἰς τὴν τοῦ παριστανομένου ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ὁποιαδηποτοῦν καταστάσει διάγνωσιν, ἐξαρκοῦντα ἑαυτοῖς γνωρίσματα παριστῶμεν, Ἰδέα Συμπλήρης λέγεται. Ἡ δέ γε, καθ᾽ ἣν τινα μόνον τῶν γνωρισμάτων, οὐδ᾽ αὐτάρκη καὶ ταῦτα εἰς τὴν τοῦ παριστανομένου ἀπὸ τῶν ἄλλων διάκρισιν, ἑαυτοῖς τῷ νῷ ἐφιστῶμεν, Ἰδέα ἀσυμπλήρης καλεῖται (ΠΗ΄.)· Κατανοεῖται ἤδη, τὴν διακεκριμένην Ἰδέαν ὀρθῶς διαιρεῖσθαι εἰς Συμπλήρη καὶ Ἐλλιπῆ.

„ Πᾶσαν μὲν διακεκριμένην Ἰδέαν Συμπλήρη εἶναι ὑπέλαβε Λεϊβνίτζιος. Ὁ δὲ Βόλφιος
„ διαφωνῶν ἐν τούτῳ Λεϊβνιτζίῳ, εἰς Συμπλήρη καὶ Ἐλλιπῆ τὴν διακεκριμένην Ἰδέαν
„ διέκρινε, καὶ τοῦτο δὴ εἰκότως, καὶ λίαν ὀρθῶς.

Υ΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Υ'.

Τὰ χαρακτηριστικὰ γνωρίσματα τὰ τὸ παριστανόμενον συνιστῶντα καθ' ἕκαστα ἑαυτοῖς παριστάνοντες, ἤτοι καὶ τῶν γνωρισμάτων δὴ τούτων καινὰς αὖθις χαρακτῆρας εἰδικῶς ἑαυτοῖς παριστᾷν, ἢ οὐκ ἐσθ' ὅπως δυνάμεθα· τοῦτο δὲ ἐκ τῆς πείρας κατάδηλον.

„ Οὕτω παρ. χάρ. ὁ διακεκριμένην Ε'ννοιαν τοῦ πνεύματος διαμορφῶν ἑαυτῷ τὰ τὸ πνεῦμα
„ τῶν ἄλλων διαχωρίζοντα καθ' ἕκαστον ἔχει ἐφιστᾶναι τῷ νῷ, εἰδώς, ὅτι τὸ πνεῦμα ἐ-
„ στὶ Α'. Οὐσία, Β'. Νοητική, Γ'. Βουλητική. Τῶν γνωρισμάτων δὴ τούτων, δι' ὧν
„ τὸ πνεῦμα διακρίνεται τῶν ἄλλων ἤτοι νέα αὖθις προσεπαριθμεῖν γνωρίσματα δύνα-
„ ται, ἢ οὔ· ταυτὸν εἰπεῖν, ἢ οἶδεν αὖθις ὅ, τι ἐστὶν ἡ Οὐσία, ἡ Νόησίς τε καὶ Θέλη-
„ σις, ἢ οὐδαμῶς.

## ΥΑ'.

Τὸ ἀντικείμενον Α. οὕτως ἑαυτοῖς παριστῶντες, ὡς μὴ μόνον τὰ δι' ὧν τὸ Α'. διαγινώσκεται τῶν ἄλλων χαρακτηριστικὰ γνωρίσματα εἰδικῶς ἀριθμεῖν δύνασθαι, ἀλλ' ἔτι καὶ τῶν γνωρισμάτων νέα γνωρίσματα τῷ νῷ καθ' ἕκαστα ἐφιστᾷν, Ε'ξηκριβωμένην Ι'δέαν τοῦ ἀντικειμένου Α'. ἔχειν λεγόμεθα. Οὐχ οὕτω δὲ τὸ Α. δυνάμενοι ἑαυτοῖς παριστᾷν, Ι'δέαν ἔχειν λεγόμεθα μὴ ἐξηκριβωμένην.

## ΥΒ'.

### Ε'ντεῦθεν κατανοεῖται, ὡς ὀρθῶς εἰς ἐξηκριβωμένην καὶ μὴ ἐξηκριβωμένην ἡ Διακεκριμένη διαιρεῖται Ι'δέα.

Δείκν. Ι'δέαν γὰρ ἔχοντες Διακεκριμένην τὰ χαρακτηριστικὰ γνωρίσματα εἰδικῶς ἑαυτοῖς δυνάμεθα παριστᾷν (ΟΕ'.)· τὰ δὲ χαρακτηριστικὰ γνωρίσματα πράγματός τινος ἑαυτοῖς παριστῶντες, ἤτοι καὶ τῶν γνωρισμάτων αὐτοῦ νέα αὖθις γνωρίσματα δυνάμεθα καταλέγειν, ἢ οὔ. (Υ'.) εἰ μὲν τὸ Α'. Ε'ξηκριβωμένην· εἰ δὲ τὸ Β'. μὴ ἐξηκριβωμένην ἕξομεν Ι'δέαν· ὀρθῶς ἄρα ἡ διακεκριμένη Ι'δέα διαιρεῖται εἰς ἐξηκριβωμένην καὶ μὴ ἐξηκριβωμένην.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ψ.Δ. της Κ.Ε.Π.Ι. ΙΩΑΝΝΙΝΑ 2006

## ΥΓʹ.

Ὅσον οὖν πορρωτέρω εἰς ἀπαρίθμησιν καὶ ἐξάγγελσιν τῶν νέων γνωρισμάτων προχωρεῖν ἔχεις, τοσοῦτον ἡ Ἰδέα μᾶλλον ἐξηκριβωμένη τελεῖται.

## ΥΔʹ.

### Ἡ Ἐξηκριβωμένη Ἰδέα ἐκ τῆς τῶν χαρακτηριστικῶν διαγνωρισμάτων γεννᾶται Διακεκριμένης Ἰδέας.

Δείκν. Ἐξηκριβωμένην ἐσχηκότες Ἰδέαν, τὰ τῶν χαρακτηριστικῶν γνωρισμάτων γνωρίσματα καθ᾽ ἕκαστα ἑαυτοῖς παριστᾶν τε καὶ ἀριθμεῖν δυνάμεθα· τὰ δὲ τοῦ πράγματος γνωρίσματα καθ᾽ ἕκαστα ἑαυτοῖς παριστῶντες, Ἰδέαν ἔχομεν τοῦ πράγματος Διακεκριμένην (ΟΕʹ.)· Ἰδέαν ἄρα πορίζομεθα Ἐξηκριβωμένην τῶν χαρακτηριστικῶν γνωρισμάτων Διακεκριμένης εὐμοιροῦντες Ἰδέας, ταὐτὸν δ᾽ εἰπεῖν ἡ Ἐξηκριβωμένη Ἰδέα ἐκ τῆς Διακεκριμένης τῶν μερῶν, ἤτοι χαρακτηριστικῶν γνωρισμάτων γεννᾶται Ἰδέας.

## ΥΕʹ.

### Παντὸς πράγματος Ἐξηκριβωμένην Ἰδέαν διαμορφοῦν ἑαυτοῖς οὐ δυνάμεθα.

Δείκν. Ἐπεὶ γὰρ ἡ Ἐξηκριβωμένη Ἰδέα ἐκ τῆς Διακεκριμένης Ἰδέας ἤρτηται τῶν τὸ ὁλικὸν ἀντικείμενον συνιστώντων χαρακτηριστικῶν γνωρισμάτων (ΥΔʹ.)· Παντὸς δὲ πράγματος Διακεκριμμένην ἑαυτοῖς διαμορφοῦν Ἰδέαν ἀμήχανον, πολλῶν ὅσων τῶν αἰσθήσεσιν ἐκτιθεμένων συγκεχυμένως ἡμῖν παριστανομένων (ΠΑʹ.)· δῆλον, ὅτι παντὸς πράγματος Ἐξηκριβωμένην Ἰδέαν διαμορφοῦν ἑαυτοῖς οὐ δυνάμεθα.

## Υϛʹ.

Ἡ τῶν ἐξηκριβωμένων Ἰδεῶν διαμόρφωσις Ἰδεῶν ἀνάλυσις λέγεται παρὰ φιλοσόφοις.

„ Κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τηςΚ τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ Καλεῖται δὲ ἡ τῶν Ἐξηκριβωμένων Ἰδεῶν διαμόρφωσις Ἰδεῶν ἀνάλυσις, ὅτι ὁ τὰς ἐξη-
„ κριβωμένας Ἰδέας εἰδοποιῶν ἑαυτῷ τὰ μέρη αὐθις, ἤτοι γνωρίσματα τῇ παριστα-
„ νομένῃ εἰς τὰ ἑαυτῶν μέρη, ἤτοι γνωρίσματα ἀναλύει (ΤΛ'.), ὡς ἔθος τοῖς τῶν Ἀ-
„ νατόμων παισὶν, οἵτινες τὸ ἀνθρώπινον σῶμα εἰς τὰ οἰκεῖα λύουσι μέρη, καὶ τὰ μέρη
„ ὡσαύτως εἰς τὰ ἑαυτῶν ὑποδιαιροῦσι μέρη, καὶ τῶν ἐλαχίστων ὡς οἷόν τε διαπειρώμε-
„ νοι δεξιῶς.

## ΥΖ'.

### Ἐν τῇ τῶν Ἰδεῶν ἀναλύσει ἐπ' ἄπειρον προϊέναι ἀδύνατον.

Δείκν. Ἐπεὶ γὰρ ὁ τῶν ἀνθρώπων νοῦς εἰς Ἰδέας ἐν τοῖς μάλιστα Ἐξηκριβωμένας ἀφικέσθαι οὐ δύναται, κἂν τῇ τῶν Ἐξηκριβωμένων Ἰδεῶν εἰδοποιήσει, οἷον ὅροι ἡμῖν ἀφορίζονται (ΞΕ'.)· ἡ δ' ἀνάλυσις τῶν Ἐννοιῶν τῇ τῶν ἐξηκριβωμένων Ἰδεῶν εἰδοποιήσει ἀποτελεῖται· (Υϛ'.)· δῆλον, ὅτι ἐν τῇ ἀναλύσει τῶν Ἰδεῶν ἐπ' ἄπειρον προϊέναι ἀδύνατον.

„ Οὐκ ἄρα ποτὲ προχωρητέον ἕως ἂν ἐξῇ ἐν τῇ τῶν Ἰδεῶν ἀναλύσει· ὅτε γὰρ Α'. ἐν τῇ τῶν
„ Ἰδεῶν ἀναλύσει εἰς τὰ χαρακτηριστὰ γνωρίσματα ἀφίκῃ τὰ τοῖς πᾶσι καταφανῆ, οὐκ-
„ ἔτι περαιτέρω ταυτὶ ἀναλύσειας. Β'. Ὅτε εἰς τοιαῦτα γένη γνωρίσματα ἐν τῇ τῶν
„ Ἰδεῶν ἀναλύσει, ἐν οἷς περ διὰ τὴν ἑαυτῶν ἁπλότητα οὐδὲν ἔτι ἔξεστι διακρίνειν, τὴν
„ τῶν Ἰδεῶν ἀνάλυσιν θέμις ἵστασθαι. Γ'. Ὅτε γένοιο τῷ σκοπῷ, πρὸς ὃν τῇ τῶν Ἐν-
„ νοιῶν ἐνεχείρησας ἀναλύσει (οὐδὲ γε σκοπὸς, ἤτοι ἀνάπτυξις, ἢ δεῖξις ἐστὶν) ἠρεμητέον
„ ἤδη σοι τὰ χαρακτηριστικὰ γνωρίσματα ἀναπτύσσοντι· πλείω δὲ περὶ τούτων ἐν τῇ ἀ-
„ ναπτύξει.

„ Μέχρι τοῦδε περὶ τῆς εἰδοποιοῦ διαφορᾶς τῆς τῶν Ἰδεῶν, ἤτοι περὶ διαφόρου τρόπου τῆς
„ τῶν Ἰδεῶν διαμορφώσεως, αὕτη δὲ ἡ διαφορὰ, ἐπὶ τοῦ παρόντος διαγράμματος καθορᾶται.

| Ἰδέα | | |
|---|---|---|
| | Σαφὴς | Ἀσαφής. |
| | Διακεκριμένη | Συγκεχυμένη. |
| (α.) | Συμπλήρης | Ἐλλιπής. |
| (β.) | Ἐξηκριβωμένη | μὴ Ἐξηκριβωμένη. |

## ΥΗ'.

Ἐπὶ τὴν ὑλικὴν ἤδη τῶν Ἐννοιῶν διαφορὰν μεταβαίνομεν.

Ἔστι δ' αὕτη ἡ ἀπὸ τῆς ὕλης τῶν αὐτῶν, ἤτοι ἀπὸ τοῦ παριστανομένου πράγματος λαμβανομένη.

„ Κατὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΚ.Δ τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ *Κατὰ δὲ ταύτην τὴν Θεωρίαν αἱ Ἰδέαι παράτισι διαιροῦνται εἰς Ἰδέας Α. τῶν οὐσιῶν Β.*
„ *τῶν συμβεβηκότων, εἴτ' οὖν τρόπων. Γ. τῶν Σχέσεων, ἥν τινα δὴ τριπλῆν διαφορὰν*
„ *ἐν τῇ παραδόσει ἐκθησόμεθα. Ἀλλ' οὖν ταύτην τῶν Ἰδεῶν ὑλικὴν ἐνταῦθα ὑποζευ-*
„ *γνῦντες διαφοράν. Αἱ Ἰδέαι ἀμέλει τῷ λόγῳ τοῦ ἀντικειμένου, ἤτοι τοῦ παρισταμέ-*
„ *νου πράγματος ἄριστα διαιρετέαι εἶναι δοκοῦσιν εἰς τὰς μερικὰς εἴτουν ἀτομικάς, καὶ*
„ *εἰς τὰς ἀνηγμένας καὶ καθολικάς. Ταύτης δὲ τῆς διαφορᾶς εἰς εὐκρινεστέραν κατά-*
„ *ληψιν τοῖς ἑξῆς προσεκτέον.*

## ΥΘ΄.

**Πᾶν ὅ, τι ὑπάρχει, ᾗ τῇ αἰσθήσει ἀντιλαμβανόμεθα, Μερικὸν ἀποκα-λοῦμεν, ἤτοι ἄτομον.**

„ *Παρ. χάρ. Αὕτη ἡ τράπεζα, οὗτος ὁ Τίμων, ὃν ὁρῶ· οὗτος ὁ Περικλῆς, οὗ λαλοῦντος*
„ *ἀκούω, εἰσὶν ἄτομα.*

## Ρ΄.

## Τὸ ἄτομον δι' ὅλου διώρισται.

Δεῖξ. Οὗτινος δήποτε ἀντιλαμβανόμεθα ταῖς αἰσθήσεσι, τοῦτο δὴ ποικίλαις, καὶ ὅτι πλείσταις περιστάσεσιν ἐνειλημμένον καὶ ἱματισμένον εἶναι παρατηροῦμεν. Τὸ δ' ὑπὸ ποικίλαις καὶ ὅτι πλείσταις περιστάσεσι δυνάμενον ἐννοεῖσθαι δι' ὅλου διωρισμένον ἀποκαλοῦμεν. Οὗτινος δήποτε ἄρα ταῖς αἰσθήσεσιν ἀντιλαμβανόμεθα, δι' ὅλου διώρισται, τουτέστιν ἐκείνῳ πάντα πάρεστιν, ὡς μὴ πλείους δύνασθαι περιστάσεις, ἢ διορισμοὺς ἐπελθεῖν, ἐν ὅσῳ δὴ τοῦτο μένει ταυτό. Οὗ δὲ ταῖς αἰσθήσεσιν ἀντιλαμβανόμεθα, ἄτομον δὴ τοῦτο ἐστί. (ΥΘ΄.) Πρόδηλον οὖν, ὅτι τὸ ἄτομόν ἐστι δι' ὅλου διωρισμένον.

„ *Οὕτω παρ. χάρ. ὁ Πέτρος οὗτος, ὃν ὁρᾷς, ἄτομον τυγχάνει γε ὤν· συνῆλθον καὶ γὰρ*
„ *ἐν αὐτῷ ὅτι πλεῖσται περιστάσεις τε καὶ διορισμοὶ, οἵτινες δὴ ἀποτελοῦσι τὸν Πέτρον*
„ *διωρισμένως αὐτὸν τοῦτον εἶναι τὸν Πέτρον, ὡς μηκέτι δύνασθαι πλείους ἐπελθεῖν ἐφ'*
„ *ὅσον εἶναι ὀφείλει Οὗτος ὁ Πέτρος· κἂν γὰρ καὶ ἐλάχιστος ἐπέλθῃ διορισμὸς ὁ*
„ *πρότερον αὐτῷ μὴ προσών, ἕτερον ἄτομον ἀναφύψει.*



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΡΑ'.

Κατανοεῖς νῦν ἐντεῦθεν πρῶτον, τὸν παρά τισι τῆ Α'τόμε φερόμενον ὁρισμὸν, τοιοῦτον τί εἶναι λέγεσιν, ὅπερ ἑαυτῷ ἐδὲν ἔσχηκεν ὅμοιον. Οἱ πάλαι Α'τομον ἀπεκάλεν τὸ ἐξ ἰδιοτήτων συνισάμενον, ὧν τὸ ἄθροισμα ἐδέποτ' ἐν ἑτέρῳ τινὶ τὸ αὐτὸ εἶναι δύναται· Πορφυρ. Εἰσαγ. κεφ. Γ'. §. 16.

Β'. Ο'ρᾷς ἐν τίνι συνέσηκεν ἡ ἀρχὴ τῆς Α'τομότητος. Ε'̓ςι γὰρ αὕτη συμπλοκὴ ἁπασῶν τῶν ἰδιοτήτων καὶ διορισμῶν τῶν ἀποτελέντων πρᾶγμά τι διωρισμένως εἶναι τῦτο τὸ πρᾶγμα, μηδ' ἄλλο τι.

## ΡΒ'.

Α'τομικὴ Ι'δέα ἐςὶν τοιαύτη παράςασις, καθ' ἣν τῷ νῷ παριςῶμεν τὸ ἄτομον, ἤτοι παράςασις πράγματος τινὸς ὄντος.

## ΡΓ'.

### Η' Α'τομικὴ Ι'δεα παρίςησιν ἡμῖν ὅτι πλείςας περιςάσεις τε καὶ δι' ὅλε διορισμές.

Δείκν. Ε'πεὶ γὰρ ἡ Α'τομικὴ Ι'δέα παράςασις ἐςὶ τῆ Α'τόμε, ἤτοι τῆ ὑπάρχοντος πράγματος (ΡΒ'.)· τὸ δ' Α'τομον δι' ὅλε διώρισαι (Ρ'.)· δῆλον ἐν, ὅτι ἡ Α'τομικὴ Ι'δέα παρίςησιν ἡμῖν πλείςας περιςάσεις κτλ'.

## ΡΔ'.

Καίτοι δὲ τῶν Α'τόμων, εἴτεν τῶν μερικῶν πραγμάτων ὑπὸ παντοδαπαῖς περιςάσεσι καὶ διορισμοῖς δυναμένων θεωρεῖσθαι (Ρ'.), καὶ ταύταις τῆ ἑνὸς Α'τόμε, τῆ ἑτέρε ἀείποτε διαφέροντος· Γινώσκομεν ἔμπης διὰ τῆς πείρας ἔν τισι διορισμοῖς ὅμοια εἶναι τὰ μερικὰ πράγματα, καὶ ἐν ἑτέροις ἀνόμοια.

ΡΕ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΡΕ΄.

Ὅσαπερ ἐςὶ τῶν Ἀτόμων ὅμοια, ἐπὶ τὴν αὐτὴν ἀνάγομεν κλάσιν καλουμένην τῷ τοῦ εἴδους ὀνόματι, κἀντεῦθεν ὁμοιότης τῶν Ἀτόμων ὀρθῶς ἔχει τὸ εἶδος ὁρίζεσθαι.

„ Οὕτω παρ. χάρ. σκοπῶν τὸν Πέτρον, Παῦλον καὶ Ἰωάννην, καὶ ἕτερ᾽ ἄττα τῶν Ἀτόμων ὅσα ἂν ἐθέλῃς, εὑρήσεις ταῦτα τῆς ἡλικίας τῷ λόγῳ, ἢ τοῦ μεγέθους, ἢ τῆς ὑγείας, ἢ τῆς εὐσεβείας, ἢ τῶν ἱματίων, ἢ ἄλλων τέλος τινῶν περιστάσεων διαφέρον πρὸς ἄλληλα. Τοῦτο δὲ ἀείποτε κοινὸν εἶναι πᾶσι παρατηρήσεις τὸ σώματα εἶναι ὀργανικὰ λογικῇ ψυχῇ εἰδοπεποιημένα, καὶ τὸ ἐπίσης εἶναι πάντας ἀνθρώπους. Ἐντεῦθεν εἰς κλάσιν συνιστῶμεν τῶν ὄντων τὸ τοῦ ἀνθρώπου ταύτῃ ὄνομα ἀπονέμοντες, δήλου οὕτος ἐντεῦθεν ὅτου χάριν ἡ τοῦ ἀνθρώπου Ἰδέα τὸ εἶδος συνίστησι.

## Ρς΄.

Ἐκ τῶν εἰρημένων κατανοεῖται οὐδὲν ἕτερον ἐν τῇ τοῦ εἴδους Ἐννοίᾳ εἰσέρχεσθαι, εἰμὴ ὅ, τι κοινὸν ἀλλήλοις τὰ Ἄτομα ἔσχηκε.

## ΡΖ΄.

Ἐὰν πλείω εἴδη ἀλλήλοις παραβάλλωμεν, ἔν τισι διορισμοῖς, εἴτουν ἰδιότησιν ἀλλήλοις εἶναι ὅμοια ταῦτα παρατηροῦμεν· ἡ τῶν εἰδῶν αὐτὴ ὁμοιότης κλάσιν τινὰ ἀνωτέραν συνίστησιν, ἥτις τὰ εἴδη ταῦτα ὑπ᾽ αὐτὴν περιέχουσα Γένος καλεῖται.

„ Οὕτω παρ. χάρ. εἶδος τῶν ὄντων ὡρισμένον συνιστῶσιν οἱ ἄνθρωποι, ὡσαύτως δὲ καὶ οἱ ἵπποι, καὶ λέοντες καὶ κύνες κτλ. Ταῦτα οὖν πάντα τὰ εἴδη, καί τοιγε ἐν ὅτι κλάσοις διενηνοχότα ἀλλήλων, ἔν τισιν ἔμπης ὅμοια ἐςὶν καὶ ἀλλήλοις συνᾴδοντα. Κοινὸν ἀμέλει τοῖς λέουσιν ἅμα τοῖς βουσὶ, τοῖς κυσὶ, τοῖς ἀνθρώποις κτλ. Τὸ εἶναι ἀ. ζῶα, τὸ αἰσθάνεσθαι, καὶ ἑπομένως γένος τῶν ὄντων συνίσταται τὴν τοῦ ζώου φέρον ἐπωνυμίαν· λέγεται γὰρ ζῶον πᾶν τὸ ζῶν τε καὶ αἰσθανόμενον.

## ΡΗ΄.

Αἱ καθόλου Ἔννοιαι εἰσὶν Ἔννοιαι τῶν πλείοσι κοινῶν παραστατικαί.

„ Αὕτη

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ *Οὕτω δὴ ἥτε τȣ͂ ἀνθρώπȣ Ἔννοια, ϗ ἡ τȣ͂ ζώȣ Ἔννοιαι καθόλȣ εἰσί· διὰ τῆς*
„ *τȣ͂ ἀνθρώπȣ Ἰδέας παριςανομένη ἡμῖν τοῖς πλείοσιν ἀτόμοις Πέτρῳ φέρ᾽ εἰπεῖν, Παύλῳ,*
„ *Ἰωάννῃ, Κωνςαντίνῳ, ϗ τοῖς λοιποῖς ὄντος κοινȣ͂, ϗ διὰ τῆς τȣ͂ ζώȣ Ἰδέας τȣ͂ κοινȣ͂*
„ *ὡσαύτως πλείοσιν εἴδεσι, λέοντι φέρ᾽ εἰπεῖν, Ἵππῳ, ἀνθρώπῳ ϗ κτλ.*

## ΡΘʹ.

### Αἱ τῶν εἰδῶν καὶ γεννῶν Ἔννοιαι εἰσὶ καθόλȣ Ἔννοιαι.

Δεῖκν. Ἐπείπερ ὁ τȣ͂ εἴδȣς Ἔννοιαν ἔχων παριςᾷν ἑαυτῷ ὀφείλει τὸ πολλοῖς Ἀτόμοις κοινὸν (ΡΕʹ.), καὶ ὁ τὴν Ἔννοιαν ἔτι τȣ͂ γένȣς διαμορφῶν ἑαυτῷ, τὸ πολλοῖς εἴδεσι κοινὸν ἑαυτῷ παρίςησιν (ΡΖʹ.)· αἱ δὲ τὰ πλείοσι κοινὰ παριςῶσαι Ἔννοιαι καθόλȣ Ἔννοιαι λέγονται (ΡΗʹ.)· δῆλον ὅτι αἱ τῶν εἰδῶν καὶ γεννῶν Ἔννοιαι καθόλȣ Ἔννοιαι εἰσί.

## ΡΙʹ.

### Αἱ τῶν εἰδῶν καὶ γενῶν Ἔννοιαι εἰδοποιȣ͂νται δι᾽ ἀφαιρέσεως.

Δεῖκν. Τὰς τῶν εἰδῶν Ἐννοίας εἰδοποιῶν σεαυτῷ, τȣ̀ς κοινȣ̀ς μόνον τοῖς Ἀτόμοις σαυτῷ παριςᾷν ὀφείλεις διορισμȣ̀ς (ΡΕʹ.)· καὶ ἑπομένως διορισμȣ́ς τινας τȣ̀ς ἐν τῷ Ἀτόμῳ ȣ̓κ ὀφείλεις συνεννοεῖν, τȣτέςι τὰς ἐν οἷς ȣ̓κ ἀείποτε ἀλλήλοις ὅμοια τὰ Ἄτομα εἰσὶ, παραλείπεις, ὅτε δὲ θάτερον ἄνευ θατέρȣ ἐννοῶμεν ἀφαιρεῖν λεγόμεθα, Ὁ Ἐννοίας ἄρα ἑαυτῷ τῶν εἰδῶν διαμορφȣ͂ν ἀξιῶν, διαμορφȣ͂ν ἑαυτῷ ὀφείλει ταύτας δι᾽ ἀφαιρέσεως.

Ἔτι, ἐπειδὴ τὰς τῶν γενῶν Ἐννοίας ἑαυτοῖς ȣ̔́τω διαμορφȣ͂μεν, ὥςε μόνον τȣ̀ς κοινȣ̀ς πλείοσιν εἴδεσι διορισμȣ̀ς ἐννοεῖν (ΡΖʹ.)· Εὔδηλον ȣ̓͂ν ὅτι τὰς τῶν γενῶν Ἐννοίας διαμορφȣ͂μεν, ἡνίκα διορισμȣ̀ς τινὰς μὴ κοινȣ̀ς ὄντας τοῖς εἴδεσι παραλείπομεν. Ἐπεὶ δὲ τȣτὶ γενέσθαι ἄνευ ἀφαιρέσεως ȣ̓κ ἐνδέχεται· καὶ αἱ τῶν γενῶν ἄρα Ἔννοιαι εἰδοποιȣ͂νται δι᾽ ἀφαιρέσεως.

****

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΡΙΑ΄.

### Αἱ Ἔννοιαι ἐκ μερικῶν καθόλε ἀποτελῦνται μεσολαβέσης τῆς ἀφαιρέσεως.

Δείκ. Αἱ καθόλε Ἔννοιαι εἰσὶν Ἔννοιαι τὰ πλείοσι κοινὰ παρισῶσαι, αἱ δὲ Ἀτομικαὶ, εἴτεν μερικαὶ, εἰσὶν Ἔννοιαι δι' ὧν περ τὸ Ἄτομον, καὶ ἑπομένως τὸ δι' ὅλε διωρισμένον πρᾶγμα (Ρ΄.) ἡμῖν παρίσαται (ΡΒ΄.)· δῆλον ὖν ἐκ τῶν μερικῶν Ἐννοιῶν γίνεσθαι τὰς καθόλε, ἐπειδὰν διορισμὲς τινας τὲς ἐν τῷ Ἀτόμῳ παραλείπων τὲς κοινὲς μόνον ἐννοεῖς. Ὅτε δὲ διορισμὲς τινας ἐν τῇ τε Ἀτόμε κατὰ νὴν ἀντιλήψει ἐκ ἐννοῶμεν, τὲς κοινὲς δὲ μόνον ἑαυτοῖς παρισῶμεν, τηνικαῦτα ἀπὸ τῶν μὴ ἐννοημένων ἀφαιρεῖν λεγόμεθα. Ταῦτα ἄρα τὰς καθόλε Ἐννοίας ἐκ τῶν μερικῶν γίνεσθαι μεσολαβέσης ἀφαιρέσεως καθομολογῦμεν. Εἶχεν ἂν καὶ ὕτω δειχθῆναι αὕτη ἡ πρότασις.

Αἱ τῶν γενῶν καὶ εἰδῶν Ἔννοιαι εἰσὶ καθόλε Ἔννοιαι (ΡΘ΄.)· αἱ δ' αὗται τῶν γενῶν καὶ εἰδῶν Ἔννοιαι τῇ ἀφαιρέσει εἰδοποιῦνται (ΡΙ΄.)· προφανὲς, ὅτι αἱ καθόλε Ἔννοιαι δι' ἀφαιρέσεως ἀποτελῦνται.

„ Ἐντεῦθεν ἐγένετο τοῖς φιλοσοφῦσι τὰς καθόλε Ἐννοίας, καὶ ἀφῃρημένας ἀποκαλεῖν
„ τοιαῦται δέ εἰσιν αἱ τε ἀνθρώπε, τῆς ὐσίας, τε ὄντος, καὶ τῶν τοιέτων Ἔννοιαι.

## ΡΙΒ΄.

### Νῦν ἤδη ἐκ τῶν προκατασκευασθέντων κατανοεῖς τὰ γένη καὶ τὰ εἴδη μὴ ὑπάρχειν, εἰμὴ ἐν τοῖς Ἀτόμοις.

Πᾶν ὅ, τι ὑπάρχει δι' ὅλε διώρισαι περισάσεσί τε πολλαπλασίαις καὶ ποικίλαις ἐμπεριείληπται (κατὰ τὴν πεῖραν). Ἐπεὶ δὲ ἡ τε εἴδες Ἔννοια ὑπ' αὐτὴν ἐ δι' ὅλε διορισμὲς περιέχει, μόνον δὲ τὲς τοῖς Ἀτόμοις κοινὲς (ΡΕ΄.) ἑπόμενόν ἐσι τὸ εἶδος μὴ ἐνεργείᾳ ὑπάρχειν, ἤτοι, ὡς ὁ Βόλφιος προφέρει, „ τὸ ὄν, ᾧ τινι ἐνυπάρχει μόνα τὰ τῇ τε εἴδες ἐννοίᾳ ἀνήκοντα, ὑπάρχειν ἐκ ἔξεσιν ". Ἐπεὶ δὲ τῇ τε εἴδες Ἰδέᾳ ἐδ' ὁτιῦν ἄλλο, εἰμὴ τὸ τοῖς Ἀτόμοις κοινὸν εἰσέρχεσθαι δύναται (Ρϛ΄.), καὶ ἑπομένως πάντα τὰ ἐν τῷ εἴδει περιε-

ριεχόμενα, ἐν τοῖς καθ᾽ ἕκαςα Ἀτόμοις πρόσκεινται. Δῆλον ἄρ᾽ ὅτι τὸ εἶδος οὐχ ὑπάρχει, εἰμὴ ἐν τοῖς καθ᾽ ἕκαςα καὶ Ἀτόμοις.

Ἔτι, ἐπείπερ ἡ τοῦ γένους Ἔννοια τὰ τοῖς εἴδεσι περιέχει κοινὰ (ΡΖ΄.) τὸ δὲ εἶδος οὐχ ὑπάρχει, εἰμὴ ἐν τοῖς Ἀτόμοις (κατὰ τὰ δειχθέντα), προφανέςατον αὖθις μὴ ὑπάρχειν τὸ γένος, ὅτι μὴ ἐν τοῖς Ἀτόμοις.

„ *Λάβε μοι παρ. χάρ. τὴν τοῦ ἀνθρώπου Ἔννοιαν ἀντὶ ἤδης· εἰς σύςασιν οὖν τούτου ἀπαιτοῦνται οἱ διορισμοὶ ἤτοι. Α΄. Σῶμα Ὀργανικόν· β΄. Αὐτῷ συνημμένη Ψυχὴ Λογική. Οὐδὲν δ᾽ ἐνεργείᾳ ὑπάρχει ὂν τοὺς δύο μόνον τούτους περιέχον διορισμούς, καὶ παρὰ τούτους οὐδένα ἕτερον· τὰ γὰρ Ἄτομα δὴ ταῦτα τὰ τὴν κλάσιν συνιςῶντα τὴν τῶν ἀνθρώπων, πλείους καὶ ἄλλους διορισμοὺς ἔσχηκεν εἰς σύςασιν Ἐννοίας τῆς τοῦ ἀνθρώπου, ἢ τοιοῦτον, οὐδόλως ἀνήκοντας.*

## ΡΙΓ΄.

Ἐντεῦθεν κατάδηλον ὅτι

Α΄. Ἐν πᾶσι τοῖς μερικοῖς ἐνυπάρχουσι τὰ καθόλου· τὰ γὰρ γένη καὶ εἴδη ἐν τοῖς Ἀτόμοις ὑπάρχουσιν (ΡΙΒ΄.), Αἱ δὲ Ἔννοιαι τῶν γενῶν καὶ εἰδῶν καθόλου εἰσὶν (ΡΙ΄.)· ἄρα πᾶσι τοῖς Ἀτόμοις, ἤτοι μερικοῖς ἐνυπάρχουσι τὰ καθόλου.

Β΄. Ὀρθῶς λέγεται τὰ Ἄτομα τοῦ γένους καὶ εἴδους εἶναι θεμέθλους.

## ΡΙΔ΄.

### Ἐν τοῖς Ἀτόμοις πλείω, ἤπερ τῷ εἴδει ἐςί.

Δείκν. Ἐπεὶ γὰρ ἐν τοῖς Ἀτόμοις δι᾽ ὅλου διορισμοὺς καὶ περιςάσεις οἴδαμεν οὔσας (Ρ΄.), εἰς δὲ τὴν τοῦ εἴδους Ἔννοιαν διορισμοὶ εἰσέρχονται μόνον οἱ ἀεὶ ὡσαύτως τοῖς Ἀτόμοις ἐνόντες (Ρϛ΄.)· Εὐχερῶς ἤδη κατανοεῖς μὴ πάντας τοὺς ἐν τῷ Ἀτόμῳ διορισμοὺς, μόνους δὲ τοὺς ὁμοίους καὶ ἀλλήλοις συνᾴδοντας εἰς τὴν τοῦ εἴδους Ἔννοιαν ἀπαιτεῖσθαι· κἀκτέτου συνεννοεῖται ἐν τοῖς Ἀτόμοις πλείω εἶναι, ἤπερ ἐν τῷ εἴδει.

„ *Οὕτω παρ. χάρ. Ἐν τοῖς Ἀτόμοις τοῖσδε, Πέτρῳ, Ἰακώβῳ καὶ Ἰωάννῃ δι᾽ ὅλου διορισμοὺς καὶ ἰδιότητας ὡρισμένας προσέχειν τὸν νοῦν. Ἐν γὰρ τῷ Πέτρῳ τὴν ἡλικίαν, τὸ μέγεθος, τὰς ἐσθῆτας, τὴν παιδείαν, τὸν τόπον, ἐν ᾧ ποιεῖται τὰς διατριβὰς, καὶ πλεῖω ἕτερα τὰ τὸν Πέτρον, Πέτρον εἶναι ἀποτελοῦντα, δύνασαι ἐννοεῖν. Οὗτοι δὲ οἱ διορισμοὶ πάντως ἐν τῷ εἴδει, τῇ τοῦ ἀνθρώπου δηλονότι Ἐννοίᾳ οὐ πρόσκεινται.*



ΙΩΑΝΝΙΝΑ 2006

„ Εἰς γὰρ τὴν εἰδοποίησιν τούτου οὐδὲν ἔτι ἀπαιτεῖται, εἰμὴ ψυχὴ λογικὴ συνημμένη
„ ὀργανικῷ σώματι.

## ΡΙΕ΄.

### Ἐν τῷ εἴδει ἐςὶ πλείω, ἢ ἐν τῷ γένει.

Δείκν. Ἐπεὶ γὰρ τὴν τοῦ γένους Ἔννοιαν μόνοι οἱ ἐν τῷ εἴδει ὅμοιοι διορισμοὶ συνιςῶσι (ΡΖ΄.)· Πρόδηλον, ὅτι οὐ πάντες οἱ ἐν τῷ εἴδει διορισμοὶ ἀπαιτοῦνται εἰς τὴν τῆς Ἐννοίας τοῦ γένους σύςασιν· καὶ ἐπομένως πλείους ὀρᾶς διορισμοὺς ἐν τῷ εἴδει, ἤπερ ἐν τῷ γένει εὑρίσκεσθαι.

„ Οὕτω παρ. χάρ. πλείους ἀπαιτοῦνται διορισμοὶ εἰς τὴν τῆς Ἐννοίας τοῦ ἀνθρώπου ὡς
„ εἴδους σύςασιν, ἤπερ εἰς τὴν τοῦ ζώου ὡς γένους. Τῇ γὰρ τοῦ ἀνθρώπου Ἐννοίᾳ, οὐ
„ μόνον ἀπαιτοῦνται ζωὴ καὶ αἴσθησις, ἀλλ᾽ ἔτι καὶ ψυχὴ Λογικὴ ὀργανικῷ σώματι συ-
„ νημμένη. Ἐπὶ δὲ τὴν τοῦ ζώου Ἔννοιαν ζωὴ καὶ αἴσθησις ἀπαιτεῖται. Πλείω τοιγα-
„ ροῦν τῷ εἴδει, ἢ τῷ γένει παρεῖναι δῆλα.

## ΡΙϚ΄.

Νῦν ἤδη κατανοεῖς τὰ παρὰ Φιλοσόφοις λεγόμενα.

Α΄. Ἀφ᾽ ὡρισμένου εἴδους ἐπὶ τὸ γένος οὐκ ὀρθῶς συμπεραίνεται.

Β΄. Τὸ γένος οὐ δύναται ἀντιςρέφειν τῷ εἴδει.

Γ΄. Οὐ πᾶν ὅ, τι μάχεται τῷ εἴδει, μαχόμενον ἐςὶ καὶ τῷ γένει, καίτοι παντὸς τοῦ μαχομένου τῷ γένει, μαχομένου πάντως γε καὶ τῷ εἴδει.

„ Τὴν ἐσχάτην ταύτην διαβεβαίωσιν τοῖς φιλοσοφοῦσιν οὖσαν συνήθη, σημαντέαν ἀξιῶ εἶναι, ὡς
„ παρὰ ταύτην μεμνημένος ἐν ταῖς νεωτέραις ἀμφισβητήσεσιν, οὐχ ἅπαξ πλημμεληθῆναι,
„ ὅπερ ἐν τῇ ἑρμηνείᾳ τοῦ μαθήματος πλατύτερον ἐπιδείξομεν.

„ Οὕτω παρ. χάρ τῷ ἀνθρώπῳ ὡς εἶδος θεωρουμένῳ, τὸ ἄλογον εἶναι μάχεται, οὐ μὴν δὲ
„ καὶ τῷ ζώῳ ἐν γένει· τοὔμπαλιν δὲ συναγαγεῖν ἔχομεν, μάχεται τῷ ζώῳ ἐν γένει τὸ
„ εἶναι ἀναίσθητον, ἄρα καὶ τῷ ἀνθρώπῳ.

„ Τοὺς δὲ λόγους τῶν θέσεων τουτωνὶ οἷον πορίσματα παραχθεισῶν ἐκ τῶν πρότερον, ἐνώ-
„ πιον ἀποδώσομεν. Ἐκ τούτων εἶν ἁπάντων εὐχερῶς ἔχεις κατανοῆσαι τὸν παρά τι-
„ σι τῶν νεωτέρων φιλοσόφων, οὕτω προενεχθέντα κανόνα τονδί· ὅσῳ περ ἡ Ἰδέα ἐλάττω
„ τὴν σύλληψιν, τοσούτῳ μείζω τὴν ἔκτασιν ἴσχει. Σύλληψιν δὲ καλεῖ ὁ τῆς τέχνης τοῦ
„ νοεῖν ποιητὴς, τὴν τῶν διορισμῶν, ἤτοι περιςάσεων διανόησιν τῶν εἴς τινος σύςασιν
„ Ἰδέας συντρεχουσῶν. Ἐπεὶ δέ τοι καὶ ὑποκείμενον θεωρεῖται, ᾧπερ οἱ διορισμοὶ ἀπο-
„ νέμεσθαι δύνανται ἔκτασιν τὸ ὑποκείμενον τοῦτο ἀποκαλεῖν, ὥςε τὸν κανόνα Ἔννοιαν

„ πε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Γ. ΛΑΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

„ περιέχειν τοιαύτην. Ἐν ὁποιαδηποτοῦν Ἰδέᾳ ἐλάττους πρόσκεινται οἱ διορισμοί, αὕ-
„ τη εἰς πλείω δύναται ἐκτείνεσθαι ὑποκείμενα, ἤπερ ἡ ἐν ᾗ πλείους· παρ. χάρ. ἡ τοῦ
„ Πέτρου Ἰδέα πολλοὺς καὶ ποικίλους διορισμοὺς περιέσχηκε, κἀντεῦθεν οὐχ αὕτη γε
„ δυνηθείη ἐφ' ἕτερα ὑποκείμενα ἐκτείνεσθαί τε καὶ ἐφαρμόττεσθαι. Ἡ δὲ τοῦ ἀνθρώπου
„ Ἰδέα οὐχ ὅσας καὶ ἡ τοῦ Πέτρου συμπεριείληφεν. Ἔνθεν τοι ἐπὶ πλείω ἐστὶν ἐκτεινο-
„ μένη πλατύτερον. Ἔτι δὲ ἡ τοῦ ζώου Ἰδέα διορισμοὺς ἐλάττους τῆς τοῦ ἀνθρώπου
„ συμπεριέχουσα, ἐπὶ πλείω τῆς τοῦ ἀνθρώπου ἐφαρμόττεσθαι δύναται. Πλείω περὶ τούτων
„ ἐν τῇ παραδόσει.

## ΡΙΖ'.

Οἱ καθ' οὓς τὰ ὑπὸ τὸ αὐτὸ γένος εἴδη πρὸς ἄλληλα διενήνοχε διορισμοί, διαφορὰ καλοῦνται εἰδοποιός.

„ Οὕτω παρ. χάρ. Τὸ Λογικὸν, εἰδοποιὸς ἐστὶ τοῦ ἀνθρώπου διαφορά, διὰ γὰρ τῆς λογι-
„ κότητος ἁπάντων τῶν ὑπὸ τὸ αὐτὸ Γένος ἑτέρων εἰδῶν ὁ ἄνθρωπος διακρίνεται ἀπό τε
„ ἵππων φημί, λεόντων, κυνῶν τε κτλ. τῶν ὑπὸ τῷ αὐτῷ γένει, τῇ τοῦ ζώου ἀμέλει Ἐννοίᾳ
„ περιεχομένων εἰδῶν.

## ΡΙΗ'.

### Ἐξ ἁπάντων τούτων καταφανὲς, ὅτι αἱ Ἰδέαι διαμορφοῦνται· ἤτοι δι' αἰσθήσεως, ἢ δι' ἀφαιρέσεως.

Δείκν. Ἐπεὶ γὰρ αἱ Ἰδέαι τῷ λόγῳ τοῦ ἀντικειμένου, ἢ Ἀτομικαὶ εἰσιν, ἢ καθόλου (ΠΘ'.)· Ἡ δὲ Ἀτομικὴ Ἰδέα δι' αἰσθήσεως διαμορφοῦται (ϞΘ'. ΡΒ'.) αἱ δὲ καθόλου Ἰδέαι, διὰ τῆς ἀφαιρέσεως προαποριζονται (ΡΙΑ'.)· ἢ δι' αἰσθήσεως ἄρα, ἢ δι' ἀφαιρέσεως αἱ Ἰδέαι πᾶσαι διαμορφοῦνται.

Γ'. Παράτισι τρόπος διαμορφωτικὸς ἰδεῶν προςίθεται ὁ διὰ τῆς κατὰ τὸ δοκοῦν ἀμέλει
„ συζεύξεως· ὥςπερ γὰρ διὰ παραλείψεώς τινων τῶν τὸ Ἄτομον δι' ὅλου διοριζόντων
„ τὰς ἀφῃρημένας ἐκτελοῦμεν Ἐννοίας, οὕτω καὶ τοὺς διορισμοὺς ἐννοοῦσιν ἑνωποιεῖν ἔξεστι τὰ
„ διάφορα καὶ ἀλλήλων διεζευγμένα, καὶ τὸ οὕτω διωρισμένον διορίζειν ἄλλως πως. Οὕτω
„ παρ. χάρ. Ἔννοια διανοίας ἐντελεχάτης, ἢ ὡσαύτως ὄρους χρυσοῦ διαμορφῶν σεαυτῷ
„ διὰ τῆς κατὰ τὸ δοκοῦν συζεύξεως ταύτην διαμορφοῖς. Εἰδὼς γὰρ ὅ, τι ἐστὶν ἡ διά-
„ νοια, καὶ ὅ, τι τὸ ἐντελέχατον, οὕτως ἤδη ἐννοῶν τὰς Ἰδέας συζύγνυς, ὡς μίαν ἀπο-
„ τελεῖσθαι τὴν τῆς ἐντελεχάτης διανοίας Ἔννοιαν.

„ Πε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΤΗΣ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

„ *Περὶ τῶν Ἐννοιῶν τούτων, τῶν διὰ τῆς κατὰ τὸ δοκοῦν συζεύξεως ἠδοποιημένων, τουτὶ πα-*
„ *ρατηρεῖν ἀξιῶ. Βουλομένῳ σοι, ἂν αὗται δυναταὶ ὦσι, καὶ ἑπομένως ἀληθεῖς ἐπιγνῶ-*
„ *ναι, τῇ τῶν συζευγνυμένων Ἐννοιῶν συμπλοκῇ προσεκτέον. Εἰ μὲν γὰρ συζευγνύμεναι*
„ *αἱ Ἰδέαι ἀντιφάσκοιεν, ἀδύνατοι αἱ Ἔννοιαι ἔσονται, οἷα ἡ τῆς κοινότητος τῶν ἀθέων,*
„ *τοῦ χρυσοῦ ὄρους, τοῦ σιδηροῦ ξύλου. Εἰδὲ πρὸς ἀλλήλας μὴ ἀντιμάχοιντο, αἱ Ἔννοιαι*
„ *ἔσονται δυναταὶ, οἷα ἡ τῆς τελειοτάτης διανοίας ἐςί.*
„ *Ταῦτα μὲν περὶ τῆς τριπλῆς μεθόδου τῆς τῶν Ἰδεῶν διαμορφώσεως. Ἤδη δὲ ὅπως αἱ*
„ *Ἰδέαι βελτιοῦνται καὶ χακιοῦνται· (συγγνώμη δ' ἡμῖν ταῖς λέξεσι βαρβαριζουσιν.)*

## ΡΙΘ΄.

**Αἱ Ἰδέαι βελτιοῦνται, ἐξ ἀσαφῶν σαφεῖς καὶ ἐκ σαφῶν γινόμεναι διακεκριμέναι.**

## ΚΡ΄.

## Αἱ Ἰδέαι μάλιςα βελτιοῦνται τῇ προσοχῇ.

Δεικν. Αἱ Ἰδέαι ἐξ ἀσαφῶν σαφεῖς καὶ ἐκ σαφῶν διακεκριμέναι τελοῦνται διὰ τῆς προσοχῆς (ΟΒ΄. ΥΖ΄.)· Ὅτε δὲ αἱ αὐταὶ βελτιοῦνται ἐξ ἀσαφῶν σαφεῖς, καὶ ἐκ σαφῶν διακεκριμέναι ἀποτελοῦνται (ΡΙΘ΄.)· Αἱ Ἰδέαι ἄρα βελτιοῦνται διὰ τῆς προσοχῆς.

„ *Εἰς τὴν τῶν Ἰδεῶν βελτίωσιν ἐν τοῖς μάλιςα συμβάλλει ἡ συνεχὴς ἐπανάληψις· καὶ*
„ *τοῦ πράγματος παράςασις. Ὅσῳ γὰρ αἱ παραςάσεις ἐπαναλαμβάνονται, τοσούτῳ*
„ *δὴ σαφέςεραι γινόμεναι βελτιοῦνται.*

## ΡΚΑ΄.

Κακίζονται τοιγαροῦν τὰς Ἰδέας ἐκ τῶν ἐρρημένων κατανοεῖται. Α΄. ἀμελουμένης τῆς ἐπαναλήψεως καὶ συνεχοῦς παραςάσεως. Β΄. ἀμελουμένης τῆς προσοχῆς καὶ ἐνατενίσεως, καὶ Γ΄. ἡνίκα τὸ πρᾶγμα οὐ δι' ἱκανοῦ χρόνου ἑαυτοῖς παριςῶμεν.

„ *Περὶ οὗ πλείω ἐν ταῖς ἡμετέραις σχολαῖς.*



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΚΕΦΑ'ΛΑΙΟΝ Β'.

## Περὶ χρήσεως φωνῶν, ἤτοι τῶν περὶ τὰς Ε'ννοίας ὅρων.

## ΠΑΡΑ'ΓΡΑΦΟΝ ΡΚΒ'.

Τὰς ἐν ἡμῖν διαμορφημένας Ε'ννοίας διὰ φωνῶν κοινῦσθαι τοῖς ἄλλοις εἰώθαμεν· ἔνθεν τοι προφυλακῆς δεῖ περὶ τὰς φωνὰς, ἵνα μὴ τοῖς ἄλλοις ἀσαφεῖς, εἰ μὴ πάντοι ἀκατάληπτοι γενώμεθα. Τῷ αὐτῷ δὴ λόγῳ, καθ' ὃν τὰς ἡμετέρας Ε'ννοίας, εἴτουν Ι'δέας ἡ Λογικὴ διευθύνει εἰς γνῶσιν τῆς ἀληθείας, ἔργον ἐςὶ τῆς αὐτῆς ἐκτιθέναι κανόνας, καθ' ὓς δεῖ ταύτας διαμορφῦσθαι, εἴγε μέλλοι τὰ παρ' ἡμῖν διανοήμενα, ὀρθῶς τοῖς ἄλλοις ἐνδείκνυσθαι.

## ΡΚΓ'.

Οὐδὲν ἕτερον εἰσιν αἱ φωναὶ, εἰμὴ σημεῖα ἐνάρθρῳ προφερόμενα ἤχῳ τῶν Ε'ννοιῶν τῦ ἡμετέρυ νοὸς δεικτικά· σημεῖον δὲ, τὸ παρὰ τὴν ἑαυτῦ Ι'δέαν συνεγεῖρον καὶ τὴν ἑτέρυ τινός. Αἱ τῶν Ε'ννοιῶν δεικτικαὶ φωναὶ λέγονται ἄλλως καὶ ὅροι.

„ Λέξεις καὶ φωναὶ διακριτέαι εἰσὶν ἀλλήλων κατά τινας· λέξεις γὰρ εἰσὶ σημεῖα ἐνάρ-
„ θρῳ προφέρεσθαι ἤχῳ δυνάμενα, καὶ τῶν γραπτῶν συμπεριεχομένων αὐτοῖς. Τὰς δὲ
„ φωνὰς ἐπὶ τὰς ἐνεργείᾳ προφερομένυς ἤχυς, καὶ διηρθρωμένας ἐκτάνεσθαι πρόδηλον.

## ΡΚΔ'.

## Αἱ φωναὶ εἰσὶ σημεῖα τῶν Ε'ννοιῶν κατ' ἀρέσκειαν.

Δείκν. Διὰ τῆς πείρας μανθάνομεν, τὰς αὐτὰς Ε'ννοίας ἔθνεσι διαφόροις διὰ φωνῶν ἐνδείκνυσθαι διαφερυσῶν. Ε'ντεῦθεν κατανοεῖται μεταξὺ τῶν φωνῶν ὡς σημείων τῶν Ε'ννοιῶν (ΡΚΓ'.) καὶ τῶν Ε'ννοιῶν αὐτῶν ὡς πραγ-

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

πραγμάτων σημαινομένων συνάφειαν ἀναγκαίαν ὐδεμίαν εὑρίσκεσθαι. Ὅσα δὲ τῶν σημείων ὐδεμίαν ἔχει πρὸς τὸ σημαινόμενον ἀναγκαίαν συνάφειαν, κατ᾽ ἀρέσκειαν λέγεται. Προφανὲς ὖν ἐκ τύτων, ὅτι αἱ φωναὶ σημεῖα τῶν Ἐννοιῶν εἰσὶ κατ᾽ ἀρέσκειαν, ἤτοι ἀπὸ τῆς ἡμετέρας θελήσεως ἤρτηται ἡντιναῦν Ἔννοιαν ὁποιαδηποτῦν σημαίνειν φωνῇ.

## ΡΚΕ΄.

Τὸν τῦ ἑτέρυ νῦν συνιέναι λεγόμεθα, ἡνίκα τὰς αὐτὰς Ἐννοίας τοῖς ἐκείνυ συζεύγνυμεν ῥήμασιν, ἅς περ ἐκεῖνος συζεύγνυσι τοῖς αὐτοῖς.

## ΡΚϚ΄.

Πρὸς ἑτέρυς ποιῦντες τὺς λόγυς, προσλαμβάνομεν τὰς φωνὰς, ὡς ἂν οἱ πρὸς ὓς λαλῦμεν τὸν ἡμέτερον νῦν συνιέναι ἔχωσι.

„ Τὴν πρότασιν ταύτην, ἣν ϗ μάλα ἡδέως ταύτην ὁμολογήσειε πᾶς τις ἀποδεχόμενος, „ ἐνταῦθα ὡς ἀξίωμα λαμβάνομεν ἀναπόδεικτον.

## ΡΚΖ΄.

### Ὁποιαδηποτῦν φωνῇ ὀφείλει συζεύγνυσθαι Ἔννοια.

Δείκν. Ἐπεὶ γὰρ αἱ φωναὶ σημεῖα εἰσὶ (ΡΚΓ΄.)· τὸ δὲ σημεῖον εἶναι ὐ δύναται, εἰμή τι σημαινόμενον συμπαρομαρτῇ, ἅτε δὴ παρὰ τὴν ἑαυτῦ Ἰδέαν ἐγεῖρον, καὶ τὴν ἑτέρυ τινος (§. ἐγγυτ.)· Εὔδηλον ὖν, ὅτι αἱ φωναὶ ἀείποτε λόγον ἔχυσι πρὸς τὰς Ἐννοίας τὰς δι᾽ αὐτῶν σημαινομένας, καὶ ἑπομένως ὁποιαδηποτῦν φωνῇ Ἔννοιαν συζευκτέον.

Εἶχεν ἂν τὸ αὐτὸ δειχθῆναι καὶ ὕτω.

Θῶμεν λέξεις προσλαμβάνεσθαι μηδεμιᾶς αὐταῖς Ἐννοίας συζευγνυμένης· τότε δὴ, ὐδ᾽ ὁ ἕτερος Ἔννοιάν τινα ταύταις συζεύξει, ϗ ἑπομένως, ὐδένα συνήσει νῦν διὰ λέξεων μηδεμιᾶς Ἐννοίας σημαντικῶν (ΡΚΕ΄.)· Ἐπειδὴ δὲ τοῖς ῥήμασι χρώμεθα, ἵνα τὸν ἡμέτερον νῦν ἄλλοι ἔχωσι συνιέναι (ΡΚϚ΄.), ἕπεται πάντως ἀφεκτέον εἶναι ἡμῖν τῶν, αἷς μηδεμία συζεύγνυται Ἔννοια, λέξεων.

ΡΚΗ΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ο ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΡΚΗ΄.

### Ὅτι περ οὖν τῶν Φιλοσοφικῶν σχολῶν ἐξοριςαῖαι εἰσὶν αἱ νοῦ κεναὶ λέξεις, ἐντεῦθεν ἔχει καταληφθῆναι.

Δείκν. Ἐπεὶ γὰρ ὁποιᾳδηποτοῦν φωνῇ Ἔννοιά τις ἐςὶ συζευκτέα (ΡΚΖ΄.) ὅσαις δὲ οὐδεμία συνέζευκται Ἔννοια, αὗται φωναὶ νοῦ κεναὶ, ἤτοι ἦχοι λέγονται ἄνευ νοός· δῆλον ἄρ᾽ ὅτι αἱ νοῦ κεναὶ τῶν φωνῶν, ἤτοι οἱ χωρὶς νοὸς ἦχοι οὐδ᾽ ὅλως εἰσὶ προσληπτέοι, ἀλλὰ τῶν Φιλοσοφικῶν σχολῶν καὶ συγγραμμάτων ἐξοριςέοι.

„ Τὰς τοιαύτας λέξεις οὐδεμιᾷ Ἐννοίᾳ οὔτε γνώμῃ συνεζευγμένας παρὰ τοῖς πάλαι ἐςὶν
„ εὑρεῖν καλουμένας βλίτυρι ἢ σκινδαψός, ὡς ἐςιν ἰδεῖν παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ
„ ςρωματ. βιβλ. Η΄. τοὺς ὅρους δὲ ὅσοις Ἐννοιάν τινα συζευγνύναι οἰόμεθα, τῇ ἀλη-
„ θείᾳ δὲ συζευγνυμεν οὐδεμίαν, Ἔννοιαν ἀπατηλὴν τούτοις σημαίνεσθαι λέγομεν. Ὅτε
„ γάρ τις ἑαυτῷ ἰδέαν τινὰ ἔχειν δοκεῖ, μηδεμίαν ὅλως ἔχων τῇ ἀληθείᾳ, καὶ ταύτην
„ φωνῇ τινὶ σημαίνει, τότε δὴ ἡ μὲν Ἔννοια Ἀπατηλὴ, ὁ δὲ ὅρος ἀποκαλεῖται Κενός.
„ Οὕτω παρ. χάρ. τὴν μνήμην τινὲς ὁρίζοντες δοχεῖον εἶναι τῶν Ἰδεῶν, δοκοῦσιν ἑαυ-
„ τοῖς ἐννοεῖν τὸ λεγόμενον. Ἐπεὶ δὲ τῇ φωνῇ ταύτῃ δοχεῖον οὐδεμία Ἰδέα πα-
„ ρεμαρτεῖ ἐπὶ τὴν Ψυχὴν μεταφερομένη, ὁρᾷς ἤδη τὸν ὅρον τοῦτον ὄντα κενὸν,
„ ἀπατηλὴν, μᾶλλον δὲ οὐδεμίαν σημαίνοντα Ἔννοιαν.

## ΡΚΘ΄.

### Ὅρος ἀσαφὴς ἐςὶν ἐςιν ὁ συνημμένην ἔχων Ἔννοιαν ἀσαφῆ.

## ΡΛ΄.

### Ἐὰν οὖν ἐν τῇ τῶν νοημάτων σου ἐξηγήσει ὅροις χρήσαιο ἀσαφέσι, τοῦ σοῦ νοὸς ἐφικέσθαι οὐ δυνήσεται ἕτερος.

Δείκν. Ὅρους γὰρ ἀσαφεῖς προσλαμβάνοντός σου, εἴτινα τούτοις Ἰδέαν συζεύγνυσιν ἕτερος, ἀσαφῆ γοῦν τούτοις συζεύξει (ΡΚΘ΄.)· Ἐν δὲ τῇ ἀσαφεῖ Ἐννοίᾳ οὐδ᾽ ὅ, τι οὖν διακρίνειν δυνάμεθα (ΞΘ΄.)· ὁ ἕτερος ἄρα ἀσαφῆ Ἔννοιαν συζευγνὺς τοῖς σοῖς ἀσαφέσιν ὅροις γινώσκειν τὸ σημαινόμενον καὶ διακρίνειν



Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀπὸ τῶν ἄλλων ἐκ ἔσθ᾽ ὅπως δυνήσεται, καὶ ἐπομένως ἀγνοήσει τὸ διὰ φωνῆς ἀσαφῆς σημαινόμενον. Ἀγνοῶν δὲ τὸ ἀσαφέσι σημαινόμενον ὅροις, ἐχ ἕξει τὴν αὐτὴν Ἔννοιαν ἑαυτῷ, τῶν ἀσαφῶν ἀκεσθέντων ὅρων, ἐγεῖραι. ἥνπερ αὐτοῖς αὐτὸς συζευγνύεις ὅροις ἀσαφέσι πρὸς ἄλλους χρώμενος, καὶ ἐπομένως τὸν σὸν νῦν ἐ συνήσει. (ΡΚΕ.)

„ Σημειωτέον ἐνταῦθα, ὅτι ἡ ἐν τῷ λόγῳ ἀσάφεια, Ἔννοια ἐςὶ σχετικὴ πρὸς τοὺς λέ-
„ γοντας ϗ γράφοντας, ἀκούοντας ϗ ἀναγινώσκοντας ἀναφερομένη. Οἱ μὲν ἐν ὅροι ϗ ἡ τέτων
„ σύνταξις ἐνίοτε ἔτως ἔχουσιν, ὥςε παντὶ τῷ προσέχειν μόνον ἐθέλοντι εἶναι κατα-
„ φανεῖς. Ἔσθ᾽ ὅτε δὲ ἔτως εἰσὶ συντεταγμένοι, ὥςε ἐδὲν ἐξ αὐτῶν ἐξάγεται νόημα,
„ ἐδ᾽ ἂν πᾶσαν καταβάλλωσι σπουδήν τε ϗ προσοχήν. ἐδ᾽ ἀσάφεια αὕτη γίγνεται.
„ Α΄. Ἐκ τῶν λέξεων τῶν νοὸς κενῶν ϗ ἀπατηλὴν Ἔννοιαν διεγειρουσῶν (ΡΚΗ΄.) οἷοί εἰσιν οἱ
„ ὅροι τινῶν Φανατικῶν, ϗ Παρακελσιςικῶν· παρ. χάρ. Μικροκοσμήτωρ, Βιθινιμάλκα
„ καὶ τὰ λοιπά.
„ Β΄. Ἐκ τῆς συζεύξεως ὅρων τινῶν, οἵτινες χωρὶς, ϗ καθ᾽ ἑαυτὰς θεωρήμενοι Ἔννοιάν τινα
„ ἑαυτοῖς προσῳκειωμένην ἐσχήκασι, φωνῆς δέ τινος προςιθεμένης, ἐδεμίαν ἔτι σημαίνε-
„ σιν Ἔννοιαν.
„ Οὕτω παρ. χάρ. οἱ ὅροι ἔτοι, σίδηρος, καὶ ξύλον, Ἔννοιαν συνεζευγμένην ἑαυτοῖς
„ πάντως ἐσχήκασι, συνδυαζομένων δ᾽ ἀλλήλοις τέτων τῶν φωνῶν σίδηρος ξύλινος,
„ σημασία πᾶσα προφανῶς ἀναιρεῖται. Πλεῖω παραδείγματα ἐκ τῶν Φιλοσοφικῶν
„ συγγραμμάτων ἐπάξω ἐν τῇ ἀναπτύξει, συνυπομνήσων ἅμα τὰς αἰτίας, ἀνθ᾽ ὧν ἐχ
„ ὅπως οἱ ἰδιῶται, ἀλλ᾽ ἔτι ϗ οἱ πεπαιδευμένοι αὐτοὶ συνεχέςερον φωναῖς τε κεναῖς ϗ
„ ὅροις κενοῖς χρῶνται ϗ ἀσαφέσι. Περὶ φωνῶν δὲ τῶν νῦν κενῶν ἀναγνωσθήτω ὁ Βεριν-
„ φέλβιος περὶ Λογομαχιῶν τῶν πεπαιδευμένων. Κεφ. ϛ΄, §. 4.

## ΡΛΑ΄.

## Ἀναπτύσσεσι τὰ νοήματα, ϗ τὰς Ἐννοίας ἀνακοινεμένοις ὅρων, ἤτοι φωνῶν ἀσαφῶν ἀπέχειν χρεών.

Δείκν. Ὅρες κενὲς προσλαμβάνοντός σε ἐ συνήσεσι τὰ λεγόμενα ἕτεροι (ΡΛ΄.)· ἐπειδὴ τὲς λόγες ποιεντες εἰς τετ᾽ αὐτὸ ἀφορῶμεν, ἵνα τοῖς ἄλλοις ὦμεν κατάδηλοι (ΡΚϛ΄.)· Κατανοεῖται ἄρα ἐκ τῶν ἀσαφῶν φωνῶν, ἢ ὅρων ἀπέχειν.

ΡΛΒ΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΔΙΕΥΘΥΝΤΗΣ
ΕΛ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΡΛΒ΄.

Προφυλακτέον ἔτι, μήποτε μιᾷ φωνῇ πλείες ἅμα ἐννοίας συμπεριλαμβάνωμεν.

Δείκν. Ἐπειδὴ γὰρ τὰς φωνὰς καὶ τὰς ὅρες παραλαμβάνομεν ἐπὶ τὸ γενέσθαι τοῖς ἄλλοις καταφανεῖς (ΡΚϚ΄.)· οἱ δ᾽ ἄλλοι τὸν νῦν ἡμῶν συνιᾶσιν ἡνίκα τὴν αὐτὴν, ἣν καὶ ἡμεῖς αὐτοὶ ταῖς φωναῖς συζευγνύασιν Ἔννοιαν (ΡΚΕ΄.)· Δῆλον ὅτι πλείες ἅμα Ἔννοιαι μιᾷ φωνῇ συμπεριλαμβάνεσθαι ἐκ ὀφείλεται. Θῶμεν γὰρ μιᾷ σε φωνῇ πλείονας συμπεριλαμβάνειν τὰς σημασίας, ἕτερος δή τις ἀμφιγνοήσει πάντως, ὁποίαν δεῖ τῶν πολλῶν ἐλέσθαι μάλιςα σημασίαν, καὶ ἑπομένως ἐνδέχεται μὴ τὴν αὐτὴν, ἣν κἀυτὸς τῇ σῇ φωνῇ συζευγνύειν Ἔννοιαν, καὶ ὕτω δὴ τὸν σὸν ἐ ξυνήσει πάντως γενῦν.

„ Τὴν πρότασιν ταύτην πλέοσι σαφηνίσομεν παραδείγμασιν ἐν τῇ παραδόσει καί γε συ-
„ νκατοδέξομεν ὅσαι ἀνακύπτεσιν ἔριδες, μιᾷ φωνῇ Ἐννοιῶν κρυπτομένων πλειόνων, κ
„ ὁπόση ἐντεῦθεν σύγχυσις ἀναφαίνεται.

## ΡΛΓ΄.

Ἐπεὶ δὲ πλείω τῶν λέξεων ὑπάρχει τὰ πράγματα, ὡς τὰ πολλὰ ἐνδέχεται ἀπαντᾶσθαι φωνὰς, αἷς τισιν ἐ μία τις, ἀλλὰ πλείες συμπεριλαμβάνονται Ἔννοιαι, κἀνταῦθα δὴ τὸν Φιλόσοφον ἐςὶ διορίζειν, τίνα ποτὲ τῇ φωνῇ ταύτῃ κἀκείνῃ συζεύγνυσιν Ἔννοιαν.

## ΡΛΔ΄.

Ὅρος Ἀπλανής ἐςιν, ᾧ τινι ἀποίκιλος Ἔννοια ἀείποτε συμπαρομαρτεῖ. Πλανώμενος δὲ, ᾧ μὴ ἀείποτε ἀποίκιλος Ἔννοια συμπαρομαρτεῖ. Λέγεται δ᾽ ἔτι τέτε ὁ μὲν καὶ Διωρισμένος, ὁ δὲ καὶ Ἀόριςος.



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006